οὐκέτι δὲ καὶ πολιτικοὶ ἦσαν, ψυχὰς γὰρ οὐκ ἔσωζον, ὥστε Πύθωνος, τοῦ ῥήτορος Φιλίππου, τοῦ ἀκροασαμένου Ἰσοκράτους, τοῦ θαυμαζομένου ὑπὸ Δημοσθένους, καὶ τῶν ἄλλων φιληδόνων, κρείττους ἦσαν. οἱ μὲν γὰρ μηδὲν σώζοντες ἀλλὰ καὶ κολακεύοντες καὶ πάντα πρὸς ἡδονὴν ποιοῦντες ἐοίκασιν ἰατροῖς τοῖς ἔχουσι καμνόντας ἀτάκτους περὶ τὴν δίαιταν αὐτῶν καὶ μὴ ἀναχαιτίζουσιν αὐτούς, ἀλλὰ τοὐναντίον καὶ προτρέπουσιν ἐπὶ πολλῶν ὄψων βρῶσιν, ἵνα καὶ αὐτοὶ μετ' αὐτῶν φάγωσιν· οἱ δὲ περὶ Θεμιστοκλέα ἐμιμοῦντο ἰατροὺς ἔχοντας μὲν ἁβροδιαίτους κάμνοντας μὴ καταλιμπάνοντας δὲ αὐτοὺς πλημμελοῦντας· μὴ μέντοι μηδὲ ἀμελοῦντας, ἀλλὰ πρὸς ἓν ἕκαστον γινόμενον ἐκ τῆς διαίτης ἁμάρτημα ἐνισταμένους. ταῦτα τοίνυν εἴρηται, ἐπειδὴ ἠλέγχθη, ὅτι χρεία πυθέσθαι τοῦ Γοργίου, ποίαν ῥητορικὴν ἐπαγγέλλεται καὶ τίς ἡ δύναμις τῆς τέχνης αὐτοῦ καὶ εἰ ἄρα τῷ ὄντι τέχνην ἔχει ἢ δύναμιν μόνην· οὐ ταὐτὸν γὰρ δύναμις καὶ τέχνη. ἀμέλει ταύτην τὴν δημώδη ῥητορικὴν δύναμιν ὁρίζονται τοῦ περὶ ἕκαστον ἐνδεχομένου πιθανοῦ λόγου.

p. 447c. ἐπαγγέλλεταί τε καὶ διδάσκει.

14 τὸ μὲν ἐπαγγέλλεται τῶν ἐντός ἐστι, τὸ δὲ διδάσκειν τῶν ἐκτός· ὁ μὲν γὰρ διδάσκων προφέρει ἔξω τοὺς λόγους, ὁ δὲ ἐπαγγελλόμενος εἰ κοσμεῖν οἶδεν, ὃ ἐπαγγέλλεται, οὐ πάντως δὲ διδάσκει.

## II.

### *Πρᾶξις σὺν θεῷ β'.*

p. 447c. οὐδὲν οἷον τὸ αὐτὸν ἐρωτᾶν, ὦ Σώκρατες.

1 ἤδη εἰρήκαμεν, ὅτι διττή ἐστιν ἡ ῥητορική, ἡ μὲν τέχνη, ἡ δὲ ἐμπειρία. ἄξιον οὖν ζητῆσαι, πῶς οὐκ ἔστιν ἡ ἐμπειρία τέχνη. καὶ γὰρ καὶ αὐτὸς ὁ Πλάτων εἰπεῖν ἔχει, ὅτι τέχνην

---

2 Demosth. or. XVIII 136; Vita Isocr. 11

---

1 mg. ση 16 ὁρισμὸς ῥητορικῆς 27 mg. ἀπορία

---

7 ἀναχαιτίζουσιν ς ἀναχετίζουσιν M